eul_wid: rrg-bz

*Χρυσοποιὸς Α′* · Alchemist I

# Alchemical Treatise

*Χημικὸν Σύγγραμμα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

**PAPURVS HOLMIENSIS Ἀργύρου ποίησις.**

1 Χαλκὸν τὸν κύπριον τὸν ἤδη εἰργασμένον καὶ ἔκτασιν ἔχοντα τῇ χρήσει κατάβαψον ὄξει βαφικῷ στυπτηρίᾳ τε, καὶ τρισὶν ἡμ(έραις) ἔα βρέχεσθαι. Τότε δὴ χώνευε{τε} τῇ τοῦ || χαλκοῦ μνᾷ γῆς Χίας ἁλός τε Καππάδοκος καὶ στυπτηρίας σχιστῆς ἐκ δραχμῶν ϛ′ ἀναμείξας. Ἔμπειρος δὲ χώνευε καὶ ἔσται σπουδαῖος. Πρόσβαλε δὲ ἀργύρου καλοῦ καὶ δοκίμου τοῦ ἁπλοῦ μὴ πλείω < κ′, || ὃ διαφυλάξει τὴν σύμπασαν μεῖξιν ἀνεξάλειπτον. Ἄλλο.

2 Εἰς δὲ Δημόκρ 〈ι〉 τον Ἀν 〈α〉 ξίλαος ἀναφέρει καὶ τόδε. Τοὺς κοινοὺς ἅλας ἅμα στυπτηρίᾳ τῇ σχιστῇ λεάνας εὖ μάλα σὺν ὄξει καὶ ἀνα||πλάσας κολλούρια ταῦτ’ ἐπὶ τρεῖς ἡμέρας ἔψυχεν ἐν βαλανίῳ κἄπειτα λεάνας συν εχώνευε τὸν χαλκὸν ἐπὶ τρεῖς καὶ ὕδατι θαλαττίῳ κατασβεννύων ἔψυχεν. Ἐλέγ ξει τὸ ἀποβησόμενον ἡ πεῖρα. || Ἄλλο.

3 Κασσίτερον λευκόν τε καὶ μαλακὸν τετρά κις καθήρας κἀκ τοῦδε μέ(ρη) ϛ′ χαλκοῦ τε γαλα τικοῦ λευκοῦ μνᾶν α′ συγχωνεύσας σμῆχε καὶ σκεύαζε ὃ θέλεις, καὶ γίνεται ἄργυρος ὁ||πρῶτος, ὡς καὶ τοὺς τεχνίτας λανθάνειν ὅτι ἐξ οἰκονομίας τοιᾶσδε συνέστη. Κασσιτέρου κάθαρσις.

4 Ἡ δὲ τοῦ κασσιτέρου κάθαρσις τοῦ χωροῦντος ἐς τὴν τοῦ ἀργύρου κρᾶσιν ἥδε· κασσίτερον κα||θαρὸν ἔα ψυγῆναι καὶ ἀλείψας ἐλαίῳ τε καὶ ἀσφάλτῳ ἐκ τετάρτου χώνευε καὶ πλύνας ἀπόθου καθαρίως. Πρόσβαλλε τοῖς τέτταρσιν τοῦ ἀργύρου τοῦδε μέρη ϛ′ καὶ χαλκοῦ τοῦ [γ]αλατικοῦ μέ(ρη) ζ′ καὶ λήσεται προκείμενον ὡς ἀργύρωμα. || Ἀργύρου διπλασιασμός.

5 Οἰκονομίαις γίνεται διαφόροις. Τὸν κύπριον χαλκὸν ἐξιωμένον σὺν ἁλοσάχνῃ ἑξάκις χωνεύσας ἐπίβαλε τὸν ἄργυρον εἰς διπλασιασμόν. Ἄλλο.

6 Τὰ ἀποκόμματα τῶν τοῦ χαλκοῦ πετάλων ἅλμῃ || κατάβαπτε καὶ στυπτηρίᾳ στιλβάδι τε ἀνιμέ νῃ γλυκεῖ ὕδατι ἀπόβρεχε ἡμ(έρας) ϛ′. Εἶτ’ ἐπιβάλλων ἠρέμα τὸν ἄργυρον χώνευε. || Ἄλλο.

7 Πρὸς δὲ ταῖς καὶ ἤδη· χαλκοῦ γαλατικοῦ μέ(ρος) < ||, ἀργύρου τε κασσιτέρου τε τοῦ σπουδαιοτάτου, ὃν δὴ βούλλαν ἐπονομάζουσιν Ἰβηρῖται οἱ ἐς πέριοι, παρ’ οἷς γίνεται, καὶ Ῥωμαῖοι ὁμοίως. Χω νεύεται πρῶτος ὁ χαλκός, εἶθ’ ὁ ἄργυρος καὶ με τὰ δύο διαπυρώσεις ὁ κασσίτερος. Ἔπειθ’ ὅταν || μαλακυνθῇ, πολλάκις ἀναχώνευε καὶ κατά ψυχε ἔχων ἑτοίμην στιλβάδα ἀνιμένην ὕδατι πηγαίῳ. Ταύτην τὴν μᾶζαν ἐξελὼ(ν) κατασβέννυε, πάλιν τε πύρου καὶ πολλάκις καὶ μέχρι γένηται λευκότατος ὁ ἄργυρος. || Εἶτ’ ἐλάσας αὐτὸν καὶ πλατύνας ἀνάτριβε κουφολίθῳ σμῶν, οὕτω τε κατεργάζου. Καὶ ἡ τρίπλωσις γίνεται τῷ αὐτῷ τρόπῳ κατα

μεριζομένων τῶν ὁλκῶν, ᾧ πρόκειται. Ἡ δὲ ἀνέκλειπτος μᾶζα κατασκευάζεται || πάλιν τῇδε τάξει τῆς διπλώσεως.

8 Ἀφελὼν γὰρ τῆς μάζης < η′ ἀναχώνευε τοσαύτας ἀργύρου μιγνὺς καὶ τοῦτο ποιήσας τρὶς κα τάψυχε καὶ εἰς τὸν κουφόλιθον ἀποτίθει. Ἀργύρου ποίησις.

9 || Ἀγόρασον ἄνθρακας, οἷς οἱ χαλκεῖς χρῶνται, καὶ ἔμβρεξον αὐτοὺς ὄξει ἡμέραν α′. Μετέ πειτα λάβε χαλκοῦ ὀγ(κίαν) α′, στῦφε δὲ αὐτὸν τῇ μάλα στυπτηρίᾳ καὶ οὕτως χώνευε. Εἶτα λάμβανε ὑδραργύρου ὀγ(κίας) η′, κενώσεις δὲ αὐ||τὸν τὸν ὑδράργυρον εἰς κένωμα μήκωνος. Λάμβανε δὲ καὶ ἀργύρου ὀγ(κίαν) α′. Ταῦτα εἰς ἓν ποιήσας χώνευε. Καὶ ὡς ἂν χωνεύσῃς αὐτὸν τὸν βῶλον, εἰς ἄγγος χαλκοῦν βάλε μετὰ οὔρου φοράδος καὶ ῥινήματος σιδή||ρου, ταῦτα ἡμέραις γ′. Καὶ ἐξελών ἕξεις τὴν μόνην ἀμαύρωσιν φυσικὴν ἀληθείαν ἐμ φαίνουσαν τῇ κράσει τῆς συσταθμίας. Μαργαρίτου λεύκωσις.

10 Μαργαριτάρια κιρρὰ ὡς καπνιαῖα λευκὰ || ποιῆσαι. Λαβὼν μέλι ἄδολον ὂν ὡς ὀβολὸ(ν) ἐπίβαλε ὕδατος λακκαίου κυ(άθους) β′ καὶ ποιήσας ὑδρόμελι βάλε εἰς πουλταρίδιον καὶ σύ κου ῥίζαν συγκόψας βάλε κάτω. Καὶ ὅταν || {καὶ ὅταν} ἑψοῦντος σοῦ καχλάσῃ, ἄρας ἀπὸ||τοῦ πυρὸς λέανον σὺν τῷ ὑγρῷ καὶ ὅταν λεῖ ον γένηται ἀληθινὸν καὶ κιν 〈ή〉 σας καὶ ποιήσας ἄποχος σύμμετρον κατάχριε τὰ μαργαριτάρ ια καὶ ἔα παγῆναι. Καὶ ἀπόμασσε ῥάκει λινῷ καθαρῷ καὶ εὐθέως σοι δείξει τὴν λευκασίαν. || Ἐὰν δέ σοι δόξῃ μήπω ἔκλευκα γεγονέ[ν] αι, πάλιν ἐπίχρισον. Ὅσῳ γὰρ ἐπιχρίων ἐκμά σσεις, ἐκλευκότερα γίνεται. Μηκέτι δέ, ἂν ζέσῃ, ἐπιζέσῃς, ἀλλὰ ἐκ τοῦ αὐτοῦ χρῶ τούτῳ. Ἄλλη.

11 || Λαβὼν τὰ πινάρια ἢ τὰ μαργαρ 〈ι〉 τάρια, εἰς γάλα κυ νὸς χάλα καὶ ἔα ἡμ(έρας) β′ καὶ νύκτας ἐπιπωμάσας, καὶ ἔπαιρε αὐτὰ διειρμένα τριχὶ ὀνίᾳ καὶ ἐνα πόβλεπε, εἰ γέγονε λευκά, εἰ δὲ μή, ἐπιχάλα, ἕως καλῶς ἔχῃ τοῦτο. Καὶ ἐὰν ἄν(θρωπ)ον χρίσῃς, λε||προῦται, τοσαύτην ἔχει ἐνέργειαν. Ἄλλο.

12 Αὕτη δὲ καὶ χάρτας γεγραμμένους πάλιν ψᾶ, ὥστε δοκεῖν μηδέποτε γεγράφθαι. Λαβὼν ἀφρόνιτρον τῆξον εἰς ὕδωρ. Εἶτα κατὰ τὸ || γεγενῆσαν νίτρωμα προσέμβαλε γῆς ἐμπάσα(ς) ὠμῆς μέ(ρος) α′ καὶ γῆς κιμωλίας μέ(ρος) α′ καὶ γάλα βόϊον, ὡς πάντα μιγέντα γενέσθαι γλοιώδη, καὶ προσμίξας σχίνου χυλοῦ κατάχρισον πτερ ῷ. Καὶ ἐάσας ξηρανθῆναι, εἶτα ἀπολέπισον, εὑ||ρήσεις λευκά. Ἐὰν δὲ κατὰ βάθους ᾖ κιρρά, πάλιν ἐπίχριε, ἐὰν δὲ εἰς χάρτην, μόνα τὰ γράμματα χρῖε. Ἄλλο.

13 Λαβὼν τοὺς μαργαρίτας π{ρ}ρόστυψον οὔρῳ ἀφθό ρου παιδὸς καὶ στυπτηρίᾳ χρῖσον καὶ ξήρανον ἀ||πὸ τοῦ στύμματος. Εἶτα λαβὼν ὑδράργυρον καὶ γάλα κυνὸς πρόσφατον βαλὼν εἰς ἀγγεῖον ὀστράκινον ὁμοῦ πάντα κάε ἐπέχων τὸ γινόμενον. Ἄνθρα ξι δὲ χρῶ ξενικοῖς καὶ μαλακῷ πυρί. Σαρδίου βαφή.

14 || Ἄγχουσαν ἄνες ἐλαίῳ, εἶτα βάλε περιστερᾶς αἷμα καὶ σινωπίδος χνοῦν καὶ ὄξος βραχύ, ἵνα μὴ τὸ αἷμα παγῇ, καὶ χάλασον τὸν διοπτερί την λίθον καὶ περιφιμώσας ἡμ(έρας) ι′ θὲς ὑπὸ δρόσον. Ἐὰν θέλῃς περίλευκον ποιῆσαι, λιθουρ||γήσας γύρωσον τρίχα ἵππου καὶ περίδησον κ(αὶ) βάλε εἰς τὸ φάρμακον. || Σαπφείρου βαφή.

15 Τὸ δὲ σαπφείριον προβάπτεται χολῇ χελώνης καὶ μεταβάλλεται εἰς τὸν ζωμὸν τοῦ ἀμεθύ||στου ἐπὶ τὰς αὐτὰς ἡμέρας τὰ λοιπά. Κρυστάλλου κάθαρσις.

16 Καπνιαίας κρυστάλλου κάθαρσις. Ἔμβαλε γυργ αθὸν καὶ χάλασον εἰς τὸ χαλκίον τῶν βαλανέ ων καὶ ἔασον ἡμ(έρας) ζ′. Εἶτα ὅταν καθαρθῇ || λαβὼν τίτανον θερμὴν φύρασον ὄξει καὶ ἐγκρύψας τὸν λίθον ἔασον στυφῆναι καὶ βάπτε πρὸς ὃ ἂν θέλῃς. Σμαράγδου ποίησ(ις).

17 Λαβὼν λίθον τὸν καλούμενον τάβασιν βάλε στυ πτηρίαν ὑγρὰν καὶ ἄφες ἡμ(έρας) γ′. Εἶτα ἀνελόμ||ενος βάλε εἰς χαλκοῦν χυτρίδιον καὶ πωμά σας φίμωσον βαλὼν ἰὸν χαλκοῦ ἄδολον κα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θαρὸν μετὰ ὄξους δριμέος καὶ ὑπόκαιε ἐλαΐ νοις ξύλοις ἐπὶ ὥρας κʹ μαλακῶς—ἢ ὅσον πλεῖ(ον) κάεις ἔμπειρος, κρείσσων καὶ βαθύτερος, μό||νον, ὡς εἶπον, μαλακῷ πυρί—καὶ ψύξας ἆρον. Ἡ δὲ δύναμις δεικνύει, εἰ γέγονεν. Ὄψῃ γὰρ ἀτμίδα χλωρὰν γεγονυῖαν. Ἔα δὲ ψύχεσθ(αι) ἐπὶ πολλῷ. Εἰ δὲ μή, ῥήσσεται ταχύ. Βάλε οὖν εἰς πύξινον χυτρίδιον ἔλαιον πρὸ ἱκανῶν || ἡμερῶν, ἵνα προεξιωθῇ καὶ ἄρῃς τὸ γεγονός. Βάλε κάτω καὶ ἔασον ἡμ(έρας) ζʹ πωμάσας καὶ ἐξελ ὼν ἕξεις σμάραγδον ὅμοιον τῇ φύσει. Μαργαριτῶν ποίησις.

18 Λαβὼν λίθον εὔθρυπτον, ὅς ἐστιν σπεκλάριον, || τρῖψον καὶ λαβὼν γάλα βοὸς καὶ τραγάκανθαν βρέχε ἡμ(έρας) ιʹ. Ὅταν γένηται ἁπαλόν, διάχεον, ἕως γένηται ὡς γλοιὸς παχύ. Καὶ κηρὸν τυρ ρηνικὸν τῆξον καὶ ᾠοῦ τὸ λευκὸν καὶ ὑδράργυ ρον—τῆς μὲν ὑδραργύρου μέ(ρη) βʹ, τοῦ δὲ λίθου || μέ(ρη) γʹ, τῶν δὲ λοιπῶν πάντων ἑκάστου μέ(ρος) αʹ— καὶ μίξας φύρασον μετὰ ὑδραργύρου καὶ τῆς τραγακάν θης καὶ τοῦ ᾠοῦ τοῦ ὀρνιθίου τῆξον καὶ μεῖξον τοῖς ὑγροῖς πᾶσιν καὶ τότε τὸν λίθον, ὃν ποιεῖς, ποίει εἰκάσας. Ἀπολιθοῦται γὰρ ταχύ. Καὶ ποίησον τύ||πους βαθεῖς στρογγύλους καὶ ὑγροὺς ὄντας αὐ τοὺς τίτρα καὶ ἔα παγῆναι καὶ πλεῖον ὀδόν τιζε καὶ ἔσται, χειρισθεὶς ὡς δεῖ, ὑπὲρ τὸν {τὸν} φυσικόν. || Καρχηδονίου βαφή.

19 || Σκευὴ κρυστάλλου ὥστε φαίνεσθαι καρχηδόν ιον. Λαβὼ⟨ν⟩ κρύσταλλον τὴν καπνίζουσαν ποίησον λιθάρια συντετελεσμένα καὶ ταῦτα λαβὼν πύ ρωσον ἐκ προσαγωγῆς ἐν τῇ σκοτίᾳ καὶ ἕως ἄν σοι φαίνηται ἐσχηκένα⟨ι⟩ τὴν πύρωσιν. Πύρου δὲ ἐν || ἀχύροις χρυσοχοϊκοῖς. Καὶ ταῦτα λαβὼν κατάβαπ τε εἰς κεδρίαν σὺν θείῳ ἀπύρῳ καὶ ἄφες αὐτὰ συμπίνειν ἐν τῷ φαρμάκῳ ἕως πρωεί. Χλωροῦ λίθου ποίησις.

20 Λαβὼν κρύσταλλον τὴν λεγομένην καπνιαίαν || ποίησον ὁλκὴν ἄγουσαν μὴ πλείω ∢ βʹ. Καὶ λαβὼν χρυσόκολλαν μακεδονικὴν καὶ ἁλικακάβων τὰ φύλλα λειοτρίβησον χρησίμως καὶ διάχεον ὄξει {ὄξει} δριμεῖ καὶ ὑπόκαιε μαλακῷ πυρί, ἕως χλωρὰ γένηται. Ἔστω δὲ καὶ ταῦτα ἐν τῷ γυργαθῷ κρε||μάμενα πρὸς τὸ ἀναιρούμενα θεωρεῖσθαι, εἰ γέγον εν. Εἰ δὲ μή, πάλιν χάλα, ἕως γένηται. Ἄλλη.

21 Ἰὸς καὶ ὄξος, ἰὸς καὶ ἔλαιον, ἰὸς καὶ χολὴ μόσχου, γίνε ται σμάραγδος. Μαργαρίτου βαφή.

22 || Κρύσταλλον στῦψον ἐν οὔρῳ καὶ στυπτηρίᾳ ἐπὶ πλεί⟨ο⟩ νας ἡμ(έρας) καὶ λαβὼν ἀναγαλλίδος χύλον τῆς τὸ κυ άνεον ἄ(ν)θος ἐχούσης, καὶ ἀειζώου καὶ τιθυμάλλου ὀπὸν καὶ ὑδράργυρον ὁμοῦ ἐπὶ μαλακοῦ πυρὸς ἕψε. Μαργαρίτου ποίησις.

23 || Ἀπὸ κρυστάλλου στῦφε οὔρῳ παιδὸς ἀφθόρου καὶ στυπτηρίᾳ στρογγύλῃ, εἶτα ὑδραργύρῳ μετὰ γυναικίου γάλακτος. Στῦψις λίθων.

24 Παντὸς λίθου στῦμμα. Στυπτηρία καὶ νίτρον ἴσον ἴσῳ ζέννυται ὕδατι. Εἶτα στύφεται τὰ λιθά||ρια. Προθερμαίνων δὲ πρὸς πῦρ βραχέως βάπτε εἰς τὸ στῦμμα. Ζέοντος αὐτοῦ ὅσον χρόνον καθά παξ ἕως τρὶς τοῦτο ποίει, βάπτων αὐτὰ καὶ πάλιν χαλῶν ἕως τρίς, μὴ ἐπὶ πλεῖον, μὴ ῥαγῇ τὸ λιθάριον. Μαργαρίτου λεύκωσις.

25 || Μαργαρίτης ὁ πεπωκὼς οὕτως λευκαίνεται· δί[δου] ὀρνιθίῳ καταπιεῖν αὐτὸν καὶ εὐθέως ἀνάσχισον καὶ εὑρήσεις γεγονότα λευκόν. Κεραυνίου στῦψις.

26 Κεραυνίου στῦψις ἡ αὐτὴ ἕψησις. Κόκκον κνίδιον || μετʼ ὄξους ἕψε{ς} σὺν τῷ λίθῳ, ἕως ἀπὸ τοῦ ὑγροῦ τὸ τρίτον ληφθῇ. Ἀραίωσις λίθων.

27 Ἵνα γνῷς, ὅτι δεκτικά ἐστιν καὶ ὅτι ἀραίωσιν ἔχει ὁ πυκνὸς λίθος. Ἐγκρύψας εἰς ἰσχάδα λι παρὰν ἐπίθες ἐπʼ ἀνθράκων καὶ εὐθέως μετα||βαλεῖ ὁ λίθος. || Κρυστάλλου τήρησις.

28 Ὥστε τὰ βαπτόμενα λιθάρια ἐκ τῆς κρυστάλλου μὴ ῥήσσεσθαι. Λαβὼν ἰσχάδα διανοίξας ἔνθες τὸν λίθον καὶ βάλε τὴν ἰσχάδα εἰς ἀνθρακίζειν. || Λίθων στῦψις.

29

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὖρον ταριχηρὸν καὶ στυπτηρίαν ταρίχευε σὺν τοῖς λιθαρίοις ἡμ(έρας) λ′. Εἶτα ἄρας ἔγκρυβε ἰσχάδα ἢ φ〈οί〉νικας λιπαρούς. Εἰργασμένα καὶ ταῦτα ἔστω ἐπ' ἀνθράκων καὶ φύσα φυση||τῆρι, ἕως κάῃ καὶ γένηται ἄνθραξ. Καὶ τότε λαβιδίῳ ἐπιλαβόμενος, μὴ τῇ χειρί, θερμ ὸν εὐθέως βάλε εἰς τὸ βάμμα καὶ ἄφες ἐναπ οψυγῆναι. Ποίει δὲ ἀπὸ < β′, μὴ πλείω, τὰ λιθάρι(α) ὅσα βούλε[ι]. Ἔστω δὲ τὸ βάμμα ὡς γλοιός. || Σμαράγδου βαφή.

30 Σμάραγδον βάψαι τὸν κρύσταλλον. Λαβὼν ἀγγεῖον ὀστράκινον καὶ στυπτηρίαν στρο γγύλην εἰς ὕδωρ φυράσας ἀπόθου. Λαβὼν δὲ κηρὸν διαυγῆ ἰσόσταθμον τῷ κρυστά||λλῳ—οὐ πλέον δὲ δύναται ἀλλοιωθῆναι ὁλ κῆς < β′ —τῆξον καὶ εἰς ἀγγεῖον ἀπόθου. Λα βὼν δὲ τὸν κρύσταλλον ἔνθες εἰς τὴν στυπ τηρίαν ἡμ(έραν) καὶ νύκτα. Οὕτως γὰρ ἀεροειδὴς φανεῖται. Εἶτα ἐξελὼν περίπλασον τῷ κηρῷ. || Εἶτ' ἀνελόμενος τὸν κρύσταλλον ἐκ τοῦ κη ροῦ ἐντίθει εἰς χρυσόκολλαν. Ἔστω ‵ δέ ′ σοι τετρι μμένη ἡ χρυσόκολλα ὀγ(κία) α′. Καὶ ἕψε τὸν κρύς ταλλον εἰς χυτρίσκην ἐλαίου κο(τύλας) ϛ′ ἐπὶ ὥρ(ας) ϛ′. Εἶτα ἐντίθει εἰς τὴν χρυσόκολλαν ἡμ(έραν) καὶ νύ||κτα. Τῇ ἐχομένῃ ἐξαίρει. Λίθων ἔψησις.

31 Λαβὼν κρύσταλλον εἰργασμένον πρὸς ὃ θέλεις, ἐὰν βούλῃ καρχηδόνιον ποιῆσαι, ἐμβαλών εἰς κηροτακίδα ῥητίνην τερεβινθίνην, ἀγχού σης λείας μικρὸν κίνει, ὡς ἀναβῇ τὸ βάμμα, καὶ || τότε ἐπαιώρει τὸν λίθον. Σμαράγδου ποίησις.

32 Ἰὸς ἄδολος, χρυσόκολλα, χελώνης χολῆς, ταυρίας μέ(ρη) β′, κρύσταλλος ἡ καπνίζουσα. Κρυστάλλου τήρησις.

33 || Ὅπως μὴ κατάσσηται ἢ ῥαγῇ. Λαβὼν χηνίου ᾠοῦ τὸ λευκὸν ἀνάμειξον κουφολίθῳ καὶ ποιή σας γλοιοῦ πάχος κατάχρισον καὶ βαλὼν εἰς ὀθό νιον δήσας ἄφες ἡμ(έρας) γ′ εἰς δρόσον καὶ ἥλιον. || Μετὰ δὲ τὰς γ′ λῦσον τὸν λίθον καὶ κατεργάζου. || Σμαράγδου ποίησις.

34 Χαλκοῦ κεκαυμένου μέ(ρος) α′, ἰοῦ μέ(ρη) β′, μέλιτος πον τικοῦ τὸ ἱκανὸν ἕψε ὥρ(αν) α′. Ἄλλη.

35 Λαβὼν κρύσταλλον ἰνδικὴν τὴν ἰρίζου||σαν τέλεσον πρὸς ἃ θέλεις λιθάρια καὶ λέαν ον. Εἶτα λαβὼν στυπτηρίαν σχιστὴν καὶ σκόροδα ἰσόσταθμα λέανον μετ' ὄξους δρι μυτάτου, ἕως γλοιοῦ πάχος σχῇ, καὶ ἔνθες τὰ λιθάρια καὶ ἔασον ἡμ(έρας) γ′. Μετὰ δὲ ταῦτα ἐπί||χεε τῷ φαρμάκῳ ὄξος, ὥστε αὐτὸ ὑγρὸν γενέσθαι, καὶ μεταβαλὼν αὐτὸ εἰς χύτραν ξενικὴν κρέμασον τὰ λιθάρια ἐν γυργαθείῳ μὴ ἁπτόμενα τοῦ πυθμένος καὶ ἕψε μάλα{α} κοῖς ἄνθραξι. Πεπωμάσθω δὲ τὸ χυτρίδιον || καὶ περιπεπλάσθω ⟦ δὲ τὸ χυτρίδιον καὶ ⟧ στέατι. Σὺ δὲ φύσα φυσητῆρι πρὸς τὸ μὴ σβε σθῆναι τὸ φῶς. Καῖε δὲ ἐφ' ὥρας β′. Εἶτα λαβὼ(ν) χρυσόκολλαν μακεδονικὴν καὶ ἰὸν ἐξ ἴσης καὶ χολῆς μοσχείας μέρος < —λέανον εὖ μά||λα. Εἶτα ἐπίχεον ἔλαιον ὀμφάκινο{ο}ν πρὸς ὀφθαλμόν. Εἶτα λαβὼν κηρὸν περίπλασον τὰ λιθάρια καὶ ἔασον σὺν ἐλαίῳ κατὰ μόνας ἢ κῖκι βαλὼν εἰς χυτρίδιον. Τὰ δὲ λιθάρ〈ι〉α πάλιν ἀποκρεμάσθω ἐν γυργαθείῳ καὶ καῖε ἐπὶ ὥρ(ας) ϛ′, || κρεμ〈ά〉σθω δὲ πάλιν τὰ λιθάρια ἱππίᾳ τριχὶ καὶ ἄφες ἐν τῷ φαρμάκῳ διανυκτερεῦσαι καὶ ἐξελὼν εὑρήσεις. Κρυστάλλου μάλαξις.

36 Κρύσταλλον μαλακῦναι. Λαβὼν τράγιον αἷμα προπύρου τὴν κρύσταλλον μαλακῷ || πυρὶ καὶ κατάβαπτε, μέχρι ἀρέσῃ σοι. Σμαράγδου λείωσις.

37 Σμάραγδον τὸν τραχὺν ἔγκρυψον εἰς κηρὸν ἐπὶ ἡμ(έρας) ιδ′ καὶ μετὰ τὰς ἡμέρας σκόροδον τρί ψας ποί‵ η ′σον μᾶζαν. Καὶ ἐξελὼν τὸν λίθον || ἐκ τοῦ κηροῦ ἔγκρυψον εἰς τὴν μᾶζαν τῶν σκορό δων ἐπὶ ἡμ(έρας) ‵ ζ′ ′. Καὶ λαβὼν πράσα χύλισον καὶ μεῖξον τῷ χυλῷ τῶν πράσων τὸ ἴσον ἐλαίου καὶ βαλὼν εἰς χυτρίδιον καινὸν συνεμβαλὼν τοὺς λίθους ἕψε ἡμ(έρας) γ′, ἕως σοι εὐάρεστοι γένωνται. Ἔστω||σαν δὲ οἱ λίθοι ἐν γυργαθίῳ, ἵνα μὴ ἅπτων ται τοῦ πυθμένος τῆς χύτρας. || Πρόστυψις καθολική.

38

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐπὶ παντὸς λίθου {παντὸς λίθου} στυφομένου ἀραίωσις καὶ βώλωσις καὶ στῦψις βοτάνη ἡλ||ιοτρόπιος ἡ τὰ σφαιρία ἔχουσα. Ἄτερ γὰρ ταύ της τῆς βοτάνης, ὃ πίνουσιν, οὐ γὰρ ἀραιοῦται {χωρὶς ταύτης τῆς βοτάνης} οὔτε κρύσταλλος οὔτε ὁ λεγόμενος τάβασις ἐκ τῆς Αἰγύπτου καταφερόμενος. Χρῶ οὖν τῷ χυλῷ τῆς βοτά||νης εἰς τὰς προστύψεις καὶ οὕτως ἐπιτεύξῃ. Βηρύλλου ποίησις.

39 Λαβὼν κρύσταλλον τὸν λίθον εἶρον τριχὶ καὶ κρ ίμνα εἰς σταμνίον οὔρου ὄνου θηλείας μὴ ἁπτό μενον τοῦ οὔρου. Ἔστω δὲ πεφιμωμένον ἐπὶ || ἡ(μέρας) γʹ. Μεθ' ἃς ἐπιτίθει τὸ σταμνίον ἐπὶ πυρὸς χλιεροῦ καὶ εὑρήσεις βήρυλλον ἄρ 〈ι〉 στον. Κρυστάλλου ἰδία στῦψις.

40 Θεῖον, ἄσβεστον, στυπτηρίαν ἄνες εἰς ὄξος. Τοῦτο ποίει τρὶς ἢ τετράκις καὶ ἄφες συμ||πίνειν ἐπὶ ἡμ(έρας) γʹ ἢ δʹ καὶ τότε χρῶ τοῖς ἑπομένοις. Προβαφή.

41 Πρόβαπτε τοὺς λίθους ἐν τούτῳ. Ἁλὸς μέ(ρος) αʹ, ὕδατος δέκατον. Τούτοις προβάπτειν τοὺς λίθους. Ξηράνας δὲ θέρμαινε ἐπὶ τὸ στόμα τῆς || καμίνου. Εἶτα βάπτε, οἵους θέλεις. Σμαράγδου ποίησις.

42 Χαλκοῦ κεκαυμένου μέ(ρος) αʹ, ἰοῦ μέ(ρη) βʹ φύρασον μετὰ μέλιτος καὶ ἐπίθες ἐπὶ τὴν τέφρα(ν), ζέσον καὶ βάλε τὴν κρύσταλλον. || Ἄλλη.

43 Χρυσοκόλλης ὁλκῆς ἥμισυ, ἀρμενίου τὸ αὐτὸ, οὔ ρου ἀφθόρου παιδὸς κοτύλης ἥμισυ, χολῆς ταυ ρίας τοῦ ὑγροῦ δίμοιρον μείξας βάλε τοὺς λίθους ἄγοντας ἀνὰ δωδέκατον ὁλκῆς. Καὶ πωμάσας || τὸ χυτρίδιον περιπήλωσον τὸ πῶμα καὶ καῖε ἐλαΐνοις ξύλοις στερεοῖς ἐλαφρῷ τῷ πυρὶ ἐπὶ {ἐπὶ} ὥρ(ας) ϛʹ. Ἐὰν δὲ γένηται σημεῖον τοιοῦτον, τὸ πῶμα χλωρόν, μηκέτι καῖε ἀλλὰ καταψύ ξας ἆρον καὶ εὑρήσεις γεγονότα. Ἔστι δὲ ὁ λίθος || κρύσταλλο[ς]. [Ἑ]ψομένη ἐν κίκει μέλαινα γίνεται. Ἀμεθύστου βαφή.

44 Πρόστυψον τριπλῇ τῇ στυπτηρίᾳ τοῦ λίθου καὶ {ἕ} ἕψε, ἕως ζέσῃ τρίς, καὶ ἄφες ἀποψυγῆναι. Καὶ λαβὼ(ν) κριμνὸν ἀπόβρεξον μετ' ὄξους καὶ ἕψε λαβὼν || τοὺς λίθους, ἕως ἀρέσῃ σοι. || Χρυσολίθου βαφή.

45 Κρύσταλλον πυρώσας κατάβαψον εἰς πίς σαν ὑγρὰν καὶ κεδρίαν καὶ ἔσται χρυσόλιθος. Λυχνίδος βαφή.

46 || Προστύψας, ὡς πρόκειται, λαβὼν φῦκος καὶ ἄγχουσαν καὶ ὄξος κατάθες, ἕως ἀρέσῃ. Βηρύλλου βαφή.

47 Μέλαν ἰνδικὸν πρόσμισγε ῥητίνῃ καὶ τότε πύρου τὴν κρύσταλλον καὶ ἔσται δό||κιμος, ἐῶν ψύγεσθαι. Ἄλλη.

48 Ἄνες χελώνης χολὴν μετὰ γάλακτος φορ[ά] δος καὶ χαλκοῦ καὶ ὄξους δριμέος καὶ ἔσται βήρυλλ` ος ʹ, ὡς καὶ τοὺς τεχνίτας λανθάνειν. Ἰάσπιδος βαφή.

49 Πύρου τὸν λίθον, εἶτα ἀπός||τυφε στυπτηρίᾳ μετ' ὄξους καὶ βάλε εἰς ἰόν, μοσχίαν χολήν. Κεραυνίου βαφή.

50 Πίσσαν ὑγρὰν καὶ ἄγχουσαν ζέσας βάλε τὸν λίθον καὶ ἔσται κεραύνιον, ἢ εἰς μόρων χύλον ἢ εἰς κόκκον τετριμμένον μετ' ὄξους || ἢ εἰς ἀρμένιον μετὰ χολῆς μοσχίας. Κρυστάλλου στῦψις.

51 Πρὸ τοῦ βάλλειν αὐτὸν βάπτεσθαι. Ἀσβές του μέ(ρος) αʹ, θείου ἀπύρου μέ(ρος) αʹ τρίψας πρός μειξον ὄξος καὶ θὲς τοὺς λίθους. Καὶ ἐν τῷ γʹ || τόμῳ οὕτως· ἡ ἀνθρωπίνη κόπρος ἐστὶν τὸ λεγόμενον σκόρδον. Κεραυνίου ποίησις.

52 Δὸ(ς) ἴσως θεῖον καὶ ὄξος καὶ χολὴν μόσχου. Γίνε ται δόκιμον καὶ πρωτεῖον. || Λίθων στῦψις καὶ ἀραίωσις.

53 Στυπτηρίαν τρίψας τῆξον ὄξει ἐπι μελῶς καὶ βάλε τοὺς λίθους καὶ δὸς βρ άσμα ἓν καὶ ἄφες νυκτερεῦσαι. Τῇ δὲ αὔριον ἀποκλύσας βάπτε, ὡς θέλεις, || χρώμενος ταῖς γραφαῖς. Ἄλλη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

54 Βαλὼν εἰς βατάνιον τοὺς λίθους ἐπι πώμασον ἄλλο βατάνιον καὶ πηλή σας δὸς εἰς ὀπτασίαν ὀπτᾶσθαι πρὸς || ὀλίγον. Εἶτα κατ’ ὀλίγον ἀποπωμάσας ἐπί χυννε ὄξος καὶ στυπτηρίαν. Εἶτα τότε ὃ θέλεις χρῶμα βάπτε. Κρυστάλλου στῦψις. [5]

55 Κρυστάλλινον μεῖναν ἐν στύψει {ἡμέ} || ἡμέραν καὶ νύ(κτα) ἀεροειδὲς γίνεται. Κρυστάλλου λεύκωσις.

56 Ὄρυζαν ἄνιε ὕδατι καὶ ⟦ στυπτήρᾳ τὸν λίθον ⟧ καθεὶς τὸν κρύσταλλον πάλιν σύνεψε. Κρυστάλλου μάλαξις.

57 || Τραγείῳ αἵματι ζέσας μάλασσε. Τὸ δὲ αὐ τὸ καὶ ὑέλῳ. Κεραυνίου ποίησις.

58 Προστύψας ὕδατι καὶ στυπτηρίᾳ τὸν λίθ ον τὸν καπνιαῖον ἡμ(έρας) ζʹ λαβίδι ἐκ προσαγω γῆς πυρώσας κάθες εἰς κεδρίαν. || Κίκεως ἀντεμβολή.

59 Πᾶσα κρύσταλλος ἑψομένη ἐ〈ν〉 κίκει μέ λαινα γίνεται. Διὸ μὴ χρῶ, ὅπου λέγει με τὰ κίκεως. Κεῖται γὰρ πρὸς ἀντιβολήν. Ἀλλὰ ἀντὶ τούτου ἐλαίῳ χρῶ. || Μαργαρίτου σμῆξις.

60 Ἂν δέ ποτε τῇ χρήσει τὸ ἀληθινὸν μάργαρον ἐκπνεῦσαν ῥυπωθῇ, ὧδε ἀποσμῶσιν Ἰνδοί· ἐνιᾶσιν ὡς ἐδωδὴν ἀλεκτρυόνι τὴν ψῆφον ἑσπέρας. Ἕωθε δὲ τὸν ἀπόβατον ἀνερευνής||αντες ἐν τῇ τοῦ ὄρνιθος εὑρίσκουσιν κοιλίᾳ κεκαθαρμένον λευκότητά τε προσκτης άμενον τῆς ἀρχαίας οὐκ ἀποδέουσαν. Ἄλλη. [5]

61 Ἄσβεστον, μηδέπω λυθεῖσαν ὕδατι ἴδιον || ἔχουσαν μετὰ τὴν κάμινον τὸ ἀφανὲς ἔν δοθεν πῦρ, κυνείῳ κατασβεννύουσι γάλακ τι, κυνὸς δὲ λευκῆς. Εἶτα φυρῶσιν καὶ περι πλάσαντες τῷ μαργάρῳ ἐῶσιν οὕτως αʹ ἡμ(έραν) καὶ ἀποψήσαντες εὑρίσκουσιν λελευκασμέν(ον). || Κεραυνίου ποίησις. [5]

62 Δρακόντιον αἷμα ὀποβαλσάμῳ τῷ σπουδαί ῳ καὶ παλαιστίνης, εἰ δὲ μὴ παρείη τοῦτο, ῥητίνης τομή τις. Τὴν δὲ μείξας ἅμα ἀγχού σῃ ποντικῇ ἔμβρεχε τὸν κρύσταλλον || ἠραιωμένον, κἂν μὲν ἄκρ〈α〉 τον ᾖ τὸ φάρ μακον, κεραύνιος, ὁ λίθος ἀναφαίνε ται. Γένοιτο δ’ ἂν ὀλίγης πίσσης {πίσσης} ὑγρᾶς πρὸς τῇ προκειμένῃ μείξει πρ οσβληθείσης ὁ καρχηδόνιος. || Βηρύλλου ποίησις. [5]

63 Πολλὴ κρυστάλλῳ συγγενεία πρὸς βήρυ λλον καθ’ ὁμοιότητα. Καὶ τῇ τὸν {κρυστα} κρύσταλλον βήρυλλον ἕξεις αὐτὸν {ἀρα} ἀραίωσας τὸν λίθον καὶ μετὰ τὴν πύρωσι(ν) || {τὴν πύρωσιν} ἀποψυγέντα εἴς τε τὴν προειρη μένην ῥητίνην ἰνδικῷ τε τῷ φαρμάκῳ συμ μεμιγμένῳ ἐμβαλών. Ἔτι δὲ ζέων εἰς τὸ φάρμακον καθεθεὶς ὁ ὑάκινθος ὁ βαπτὸς ἀποβ{β}αίνει. Χρυσοπρασίου ποίησις. [5]

64 || Ἐλύδριον μειχθὲν ἰνδικῷ χρώματι γίνε ται χλωρόν. Τὴν δὲ ῥητίνην προσλαβὼν φάρ μακόν ἐστιν ἐπιτήδειον εἰς βαφήν. Εἰς τοῦ το καθεθεὶς ὁ κρύσταλλος μετὰ τὴν χρῶ σιν καὶ συμπιὼν λίθος ὁ χρυσοπράσιος ἀν[α]||φαίνεται. Χρυσολίθου ποίησις. [5]

65 Χρυσόλιθος δέ, ὁπόταν εἰς {ς} ἐλύδριον καὶ εἰς πίσσαν ὑγρὰν ἀναμεμιγμένην πυρώσας ἐμβάλῃς τὸν κρύσταλλον. Στῦψις λίθων.

66 || Στῦψις δὲ τῶν λίθων τοιάδε τις ἔστω. Εἰς κερ αμεᾶς λοπάδας τὰς ἀνηπλωμένας κ(α)θεὶς αὐτοὺ(ς) καὶ πωμάσας φίμου πηλῷ καὶ εἰς ὀπτάνιον πέ μπε. Εἶτα κατ’ ὀλίγον ἀποπωμάσας εἰς ὄξος ἀν αδεδευμένῃ στυπτηρίᾳ κατάβαπτε. Εἶτα αὖ||θις αὐτοὺς θερμήνας τοῖς χρώμασιν ἔμβαλε κεχλιαμμένοις. Ἄλλη. [5]

67 Ἄλλως γέ τοι· εἰς λοπάδα κ(α)θεὶς καὶ ἄλλῃ λοπάδι ἐπιπωμάσας πύρου κατ’ ὀλίγον. Εἶτ’ ἠπίως ἀποπωμάσας ἐπίχει ὄξος ἅμα στυπτηρίᾳ || καὶ ὅτι θέλεις χρῶμα κατάβαπτε. Κρυστάλλου {ς} στῦψις. [5]

68

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰδία δὲ κρυστάλλου στῦψις. Εἰς θεῖον ἄσβεστόν τε καὶ στυπτηρίαν ἅμα ὄξει καθίεται τρὶς ἢ τετράκις. Σὺ δὲ ἔα συμπίνειν ἐπὶ γʹ ἢ δʹ || ἡμ(έρας) καὶ τότε χρῶ τοῖς ἑπομένοις. Λίθων παντοίων στῦψις.

69 Κοινὴ δὲ παντὸς ἀραίωσις λίθου καὶ στῦψις βοτάνη ἡλιοτρόπιον, ἣ τὰς σφαίρας ποιεῖ. Χυλίσας ἐν αὐτῇ προαρ` αί ʹου, ἐπιτεύξει τε ἐν ἅπαντος λίθου βαφῇ. || Λίθων εἴδη τῶν εἰς βαφήν.

70 Οἱ δὲ ἐπιτήδειοι πρὸς βαφὴν λίθοι κρύσταλλος ταβάσιός τ 〈ε〉 . Ἐρευθιᾷ κατὰ βαιὸν πυρίτης. Ἕψε δὲ ἐν οἰκίς κῳ σκεπηνῷ πάντα ἀποφράττων ἀνέμῳ παν τὶ πολεμοῦντα. Σμαράγδου ποίησις.

71 || Χρυσοκόλλης, οὔρου παιδίου, χολῆς μοσχίας μεί γνυε ἐν καινῇ χύτρᾳ. Ξύλοις ἐλαΐνοις μαλακῷ πυρὶ τὸ πῶμα πηλώσας καὶ τὰ κρυστάλλα προς βαλὼν ἕψε ἐφ' ὥρας εʹ. Αἰφνίδιον δὲ ἐπόψει τὸ πῶμα, ἔνθεν μηκέτι καίειν. Καταψύξας δὲ || ἀφαίρει. Ἔστω δὲ τῆς χύτρας τὸ πῶμα ὠμόν. || Ἄλλη.

72 Ἄλλου τραχέος βαφή. Κρύψον ἐφ, ἡμέρας εʹ ἐν νίτρῳ τὸν λίθον, εἶτα σκόροδον τριπτῶν ἔγκρυβε μάζῃ ἐφ' ἡμέρας ζʹ. Ἐπὶ δὲ ταῖς πράσα χυλίσας καὶ προσμείξας ἔλαιον ἴσον || ἕψε ἡμ(έρας) γʹ εἰς χυτρίδιον καινὸν βαλών, ἕως συμπίῃ. Τὸ πῶμα ὠμόν. Ἄλλη.

73 Ἰοῦ παγκάλου μέρος, στυπτηρίας ἴσον, χαλκοῦ δὲ κε καυμένου τοῖς δύο ἴσον τρίψας σὺν ὄξει καὶ γλοιοῦ πά χος ποιήσας ἔνθες τὰ λιθίδια καὶ ἔασον ἡμ(έρας) ζʹ κάεσθαι. || Ἰοῦ ποίησις τοῦ εἰς τὸν σμάραγδον ἐκ χαλκοῦ κυπρί ου εὐπαγῆ.

74 Λεπίδα κισήριδι μεθ' ὕδατος ἀποσμήξ ας ἐπιμελῶς καὶ ἀφαυήνας ἐπίχρισον ὀλιγίστῳ ἐλ αίῳ ἐλαφρότατα καὶ πρήσας σπάρτῳ διάλαβε. {Εἶ} Εἶτα ἀπάρτησον εἰς κεράμιον ὄξους δριμέος, ὡς τοῦ || ὄξους μ` ὴ ʹ ἅπτεσθαι, καὶ τὸ κεράμιον ἐπιμελῶς, ὡς μὴ διαπνέῃ, φίμου. Ἐὰν μὲν οὖν ἕωθεν καθῇς, ἐς πέρας ἀσφαλέως ἀπόμασσε πτερῷ τὸν ἰόν. Εἰ δὲ ἑσπέρας, ἀπόψα κατὰ τὴν ἕω καὶ πάλιν ἀπάρτα, ἔστ' ἂ(ν) ἡ λεπὶς ἀπαναλωθῇ. Ὁσάκις δὲ ἂν ἀποψήσῃς, || ἐλαίῳ ἐπίχριε τὴν λεπίδα, καθὼς πρ 〈ό〉 κειται. Τὸ μέ(ν) τοι ὄξος εἰς χρῆσιν ἄχρηστον. Βηρύλλου ποίησις.

75 Τὸν κρύσταλλον εἴρας τριχὶ κρίμνα ἐν σταμνίῳ οὔρου θηλείας ὄνου ἐφ' ἡμέρας γʹ, μὴ ἁπτέσθω δὲ || τοῦ οὔρου. Τὸ δὲ ἔστω πεφιμωμένον τὸ ἄγγος. Εἶτα τίθει τὸν στάμνον {τὸ ἄγγος} ἐπὶ πυρὸς ἠπίου καὶ εὑρήσεις βήρυλλον ἄριστον. Σμαράγδου ποίησις.

76 Λαβὼν λίθον πυρίτην ἢ κρύσταλλον καθάρ||ιον ποίησον οὕτως τὴν σύνθεσιν· ἰοῦ Σ β, ἐλυ δρίου Σ αʹ, σκυθικοῦ μέλανος Σ γʹ, ῥητίνης ὑγ ρᾶς τῆς ἀπὸ στόματος τὸ ἀρκοῦν. Λειώσας τὰ ξηρὰ μίσγε τὴν ῥητίνην καὶ ἀπόθου. Καὶ λαβὼν στυπτηρίαν ὑγρὰν ἔχε ἐν ὀστρακίνῳ {ἀγγει} || ἀγγείῳ ὕδωρ ἐπιβαλών, ὡς εἶναι ὑδαρέστε ρον μετρίως. Καὶ πυρώσας τὸν λί[θ]ον ἐν ἀγγείῳ ὀστρακίνῳ ἀπόψυχε εἰς τὴν στυπτηρίαν καὶ κατάθου τὸν λίθον εἰς τὴν προκειμένην σύνθεσιν θερμάνας. Ἐὰν δὲ θέλῃς χλωρότε—|| ρον γενέσθαι, ἐπίβαλε πάλιν ἰὸν λελειωμένον. Ἄλλη.

77 Ἰοῦ ξύσμα τρίψας ἐν ἐλαίῳ βρέξας ἡμ(έραν) καὶ νύ(κτα) εἶτα ἕψε φλογὶ μαλακῇ, ἕως ἀρέσῃ. Ἄλλη.

78 || Εἰς ἄγγος κεραμεοῦν δίες στ[υπ]τηρία` ν ʹ ὄξους καὶ ἀπόθου καὶ λαβὼν τὸν κρύσταλλον ἔασον. || [ll. 528—549 (receptae 79—82), iteratae in ll. 436—457] Ἄλλη.

83 || Σμαράγδου ποίησις. Εἰς ἄγγος κεραμεοῦν δίει στυπτηρίαν ὄξους καὶ ἀπόθου. Καὶ λαβὼν τὸν κρύσταλλον ἔασον ἡμ(έραν) καὶ νύ(κτα). Εἶτα λαβὼν περίπλασον κηρῷ ἢ πηλῷ. Εἶτα ἕψε ἐν ἐ λαίῳ. Ἐὰν δὲ βαρὺς ᾖ ὁ λίθος, κρίμνα ἐν || μέλιτι. Εἶτα ἄρας ἔμβαλε εἰς χρυσόκολλ αν ἡμ(έραν) καὶ νύκτα καὶ ἐξελὼν περίπλασον, ἵνα μὴ διαπνεύσῃ. Μετὰ δὲ ταῦτα χρῖσον αὐτὸν πάλιν τοῖς φαρμάκοις εἰς τὸ μέλι, ἕως γένηται. Ἄλλη.

84

Eulogikon public reading copy · View original HTML at eulogikon.org

|| Σμαράγδου ποίησις. Χρυσοκόλλης Σ ʹθʹ, ἰ οῦ μείξας Σ ʹαʹ, ἐλυδρ` ί ʹου Σ ʹαʹ, ἰνδικοῦ τρι ώβολον ῥητίνην χρῖε. Κομμάρεως λύσις.

85 Λαβὼν κονίαν στακτὴν βάλε εἰς κόμαριν || καὶ καῦσον νύκτα καὶ ἡμέραν καὶ λυθήσεται. Ἔστιν δὲ ἡ στ 〈α〉 κτὴ κονία. Βάλε αὐτὴν εἰς ὕδωρ αὔταρκες καὶ βαλὼν εἰς χύτραν τρῆσον καὶ ἐπίθες εἰς τὸ τρῆμα ἄσβεστον καὶ βάλε κά τω τὴν κονίαν καὶ ῥεύσει καθαρὸν διὰ τοῦ σε||βεννίου. Τούτῳ χρῶ εἰς τὴν λύσιν. Ἄλλη.

86 Ἔνιοι δὲ κ(αὶ) τούτῳ πολυτελεῖ ὄντι φαρμάκῳ ἔλυσαν, τῷ καπνελαίῳ, ἄλλοι δὲ καὶ τῷ ὀπο βαλσάμῳ. || Ἄλλη.

87 Κομάρεως λύσις. Εἰς κάκκαβον ὕδ[ωρ] πηγαῖον ὡσεὶ ξέστας δύο. Τοῦτο ὁπόταν ζέσῃ ἅπαξ, ἐπίβαλε τραγα κάνθης τὸ τρίτον καὶ τὸ κόμαρι κε||καθαρμένον καὶ πεπλυμένον κα λῶς λειώσας ἐν χύτρᾳ ἐπίβαλε τὸ τρί τον. Ὁπ 〈ό〉 ταν δὲ ζέσῃ ἑξάκις, αἶρε αὐ τὸ ἀπὸ τοῦ πυρός. Ἕψε δὲ μαλακῷ πυρί. Θεὶς δὲ χαμαὶ ἔασον ψυγῆναι μέχ||ρι ἡμερῶν τινων καὶ οὕτως χρῶ. Ἐξ αὐ τοῦ δὲ καὶ ὑπόχρισμα εἰς πάντα λί θον εὐχρηστεῖ. Σμαράγδου ποίησις.

88 Χρυσοκόλλης ὁλκῆς Σ —, ἀρμενικοῦ || ὁλκῆς Σ —, οὔρου ἀφθόρου παιδὸς κο τύλης Σ , χολῆς ταυρίας τοῦ ὑγροῦ τὸ δίμοιρον μείξας βάλε εἰς χυτρίδιον ὁμοῦ καὶ βάλε τοὺς λίθους πάντας, ἵνα ἄγωσιν ἀνὰ Σ βʹ καὶ Σ δʹ. Καὶ πωμάς||ας τὸ χυτρίδιον περιπήλωσον τὸ π ῶμα καὶ κάε ἐν ἐλαΐνοις ξύλοις ἐλα φρῷ πυρὶ ἐφ’ ὥρας ἓξ ἕψων. Ἐὰν δὲ γέ νηται σημεῖον τοῦτο, τὸ πῶμα χλω ρόν, μηκέτι καῖε ἀλλὰ καταψύξας ἆ||ρον καὶ εὑρήσεις γεγονότας. Εἰσὶν δὲ οἱ λίθοι κρυστάλλινοι. Πᾶσα δὲ κρύ σταλλος ἑψομένη μεταβάλλει τὴν {τὴν} χρόαν. Βάμμα χρωμάτων γʹ.

89 || Βάμμα, ἐξ οὗ τρία βάμματα γίνεται. Κριμνοῦ μέρος βʹ καὶ στυπτηρίας βαφικῆς μέρο 〈σ〉 αʹ κόψ ον καὶ φύρασον μεθ’ ὕδατος καὶ χάλα τὰ ἔρια καὶ γίν 〈ε〉 ται κόκκινα. Ἐὰν πράσινα, θεῖον με θ’ ὕδατος τρίψας ἐπίβαλε. Ἐὰ(ν) δὲ μήλινα, νίτρ||ον ἄκρατον μεθ’ ὕδατος ἐπίβαλε. || Στρουθισμός.

90 Τὸ δὲ στρουθίσαι ἐστὶν τοῦτο· λαβὼν στρού θιον κόψον καὶ βαλὼν εἰς ὕδωρ χλίανον. Εἶ τα τὸ ἔριον βαλὼν σάλευσον ἐπ’ ὀλίγον καὶ || ἄρας ξήραινε. Εἶτα τότε στῦφε. Πορφύρας.

91 Ἀσφόδελον καὶ νίτρον ζέσας χάλα τὰ ἔρια ἀνὰ ‹ ηʹ καὶ ἔκλυσον. Εἶτα λαβὼν γίγαρ τον μνᾶν αʹ κόψας φύρασον ὄξει καὶ ἄφες || ὥρας ςʹ. Εἶτα ζέσας χάλα τὰ ἔρια. Στῦψις.

92 Χάλκανθον καὶ {καὶ} σκορπίουρον ζέσας χρῶ πρὸς ὃ ἂν βούλει βάμμα. Στύφει δὲ κ(αὶ) λίθους καὶ δέρματα παντοῖα. || Ἄνεσις ἀγχούσης.

93 Ἀνίεται ἡ ἄγχουσα ἐλαίῳ καὶ ὕδ[ατι κ(αὶ)] καρύοις. Κρείσσων δέ ἐστιν πασῶν τῶν ἀνέσεων τὸ οὗρον τὸ καμήλ` ε ʹιον. Καὶ στύ φει γὰρ καὶ κάτοχός ἐστιν. || Ἄλλη.

94 Ἄγχουσαν κόψας νίτρον πρόσμισγε, ἕως σχῇ χρῶμα αἵματος. Μεθ’ ὕδατος ζέννυται καὶ ὃ θέλεις βάπτε, ἢ κόψον εἰς ὅλμον μετὰ κνήκου καὶ ἐπεμβαλὼν ἔα συμπίνεσθαι || τὸ αἷμα. Καὶ ἐὰν μετὰ τήλεως, ὁμοίως. Βάπ τειν δὲ καὶ ὀθόνια καὶ βύσσινα ἅμα χαλκά νθῳ. Ἅμα γὰρ χαλκάνθῳ εἰς τὸ φοινικοῦν τρέπεται. Πορφύρας λεύκωσις.

95 Πορφύραν λευκὴν ποιῆσαι. Ἕψε μετὰ {σ}||σκαμμωνίας καὶ ἄνεσι ἢ μετὰ σικύου ἀγρίου ἢ ἐλατηρίου ἢ ἑλλεβόρου. Ἄνεσις ἀγχούσης.

96 Λαβὼν ἄγχουσαν μετὰ βύνεως λειοτρί βει. Ἔστω δὲ πρόσφατον τὸ βύνι. Καὶ φυράσας || ὄξει ἔασον νυκτερεῦσαι. Τῇ δὲ ἐπαύριον θερμάνας σὺν ὄξει ἔμβρεξον τὴν ἄγχου σαν καὶ ἔα, μέχρις ἐξεράσῃ. Ἔπειτα λαβὼν τὸ ἔριον κατάθου εἰς τὸ τῆς ἀσβέστου ὕδωρ καὶ ἐπιχάλασον εἰς τὴν ἐξέρασιν. Καὶ || τότε εἰς ἀπόζεσμα φύκους χαλάσας χεί ριζε ὁμοίως καὶ τόπῳ κςʹ πληρέστατον. || Κομμάρεως ἄνεσις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

97 Κόμμαρι ἀνιέναι. Φαίκλαν τρίψας ὕ[δα]τι βάλε εἰς βησσίον καὶ ἀνακίνει καὶ τὸ καθεσταμένον ὕδω[ρ] || μετέρασον εἰς ἕτερον ἀγγεῖον καὶ βάλε εἰς αὐτὸ τετριμμένον τὸ κόμμαρι καὶ ἀνακίνει καὶ ἐξεράσει πάραυτα. Εἶτα ἔασον καταστῆν αι ἕως τῆς ἐπαύριον καὶ εὑρήσεις πορφύραν. Πορφύρας σαρδινῆς στῦψις.

98 || Τῇ μνᾷ τῶν ἐρίων σκωρίας {ασα} σιδήρου μνᾶς δʹ, ῥο[ᾶς] ὀξείας χοίνικα, εἰ δὲ μή, ὄξους χοῦν, ὕδατος χοεῖς ηʹ. Καῖε, ἕως τὸ ἥμισυ ἐκλείπῃ τοῦ ὕδατος. Εἶτα ὑφελὼν τὸ πῦρ ἔμβαλε τὰ ἔρια τὰ πεπλυμένα καὶ ἔασον, ἕως ἂν τὸ ὕδωρ || ψυχρὸν γένηται. Εἶτα ἐξελὼν ἀπόπλυνε καὶ ἔσται ἐστυμμένον. Πορφύρας σικελικῆς στῦψις.

99 Βάλε εἰς τὸ χαλκίον ὕδατος χοεῖς ηʹ καὶ στυπ τηρίας ἡμίμνου(ν), χαλκοῦ ἄνθους μνᾶν αʹ, κη||κίδων μνᾶν αʹ, ὅταν ζέῃ, βάλε ἐρίων πεπλυ μένων μνᾶν αʹ, καὶ ἐὰν ζέσῃ δὶς ἢ τρίς, ἔξε λε. Ἐὰν γὰρ πλείω χρόνον ἐάσῃς, ἐρυθρὰ ἔσται ἡ πορφύρα. Ἐξελὼν δὲ πλῦνε καὶ ἔσται σοι ἐστυμμένα. Πορφύρας ἀληθινῆς || στῦψις καὶ βαφή.

100 Τῷ στατῆρι τοῦ ἐρίου στυπτηρίας ὀβολοὺς εʹ, ὕδατος κοτύλας βʹ βαλὼν εἰς ἄγγος ζέσον καὶ ἔασον χλιερόν. Ἔασον ἕ[ως] πρωείας. Εἶτα ἄρας ψύξον. Εἶτα ἐπίστυψον βαλὼν ὕδατος || κοτύλας δύο καὶ βαλαυστίου Σ ʹ ηʹ. Ζέσας χάλ ασον τὰ ἔρια. Ὅταν δὲ πλειστάκις ἀποβάψῃς, ἆρον τὸ ἔριον καὶ ἐπίβαλε εἰς τὸ ὕδωρ τοῦ βα λαυστίου φύκους στυπτηρίου ὡς σφαῖραν καὶ βάπτε πρὸς βλέπησιν. Ἐὰν δὲ θέλῃς αὐτὴ(ν) || μέλαιναν εἶναι, ἄφες χρ` ο ʹνίσαι ἐπιβαλὼν μικρὸν χαλκάνθιον. Ἐν ἄλλῳ τόπῳ οὕτως ἦν· ἐὰν δὲ θέλῃς αὐτὴν μέλαιναν εἶναι, ἐπί πασσε νίτρον καὶ ὀλίγον χαλκάνθιον. || Βαφὴ πορφύρας.

101 Πορφύρα. Λίθον φρύγιον ὀπτήσας ζέσο(ν) καὶ ἄφες, ἕως ψυγῇ. Εἶτα ἄρας εἰς ἄλλο ἀγγεῖ ον ἐπέμβαλε φύκους καὶ ἀμαράντου μνᾶν αʹ καὶ ζέσον καὶ ἔα ψυγῆναι. || Ἄλλη.

102 Τὰ ἔρια λαβὼν στρούθισον καὶ λαβὼν αἱμα τίτην λίθον βάλε εἰς χαλκίον καὶ χαλκάνθι ον προζέσας βάλε τὸ ἔριον προστύψας || {προστύψας} οὔρῳ καὶ στυπτηρίᾳ καὶ μίσυι || καὶ χάλασον καὶ ἀνασπάσας θαλάσσισον καὶ ψῦχε καὶ ἐπάν [θισον] κηκίδι καὶ ὑακί νθῳ. Γίνεται αὕτη λίαν καλὴ βαρβαρική. Ἄλλη.

103 Λαβὼν κα[ν]θαρίδας καὶ σκωρίας σιδήρου || καὶ δάφνας ζέσον προταριχεύσας μν(ᾶς) βʹ καὶ ζέσας χάλασον καὶ ἀνασπάσας ψῦχε καὶ ἐπάνθισον ὕδα[τι] ἀσβέστου. Ἄλλη.

104 Λίθος φρύγιος ὀπτᾶται καὶ ζέννυ||ται καὶ χαλᾶται [τ]ὰ ἔρια καὶ ἄφες, ἕως ψυγῇ. Εἶτα ἄρας βάλε εἰς ἄλλο ἀγγεῖον φύκους μέ(ρος) αʹ, ἀμαράντου ἄνθους μέ(ρος) αʹ καὶ πάλιν ζέσον καὶ ἐπίβαλε τὸ ἔριον καὶ ἔα ψυγῆναι καὶ ἄρας ἀπόκλυσον || θαλάσσῃ. Ἄλλη.

105 Ἡ διὰ τῶν μόρων. Λαβὼν ὄμφακας σταφυλῆς πίεσον καὶ στῦφε τὰ ἔρια ἐπὶ γʹ ἡμέρας. Τῇ τετάρτῃ ζέσον βαλὼν αὐτὸν εἰς χύτραν τὸν χυλὸν || τῶν ὀμφάκων. Ὅταν δὲ ζέσῃ, ἄρας ἔκκλυσον ὕδατι τὸ ἔριον καὶ ψύξον. Εἶτα λαβὼν χυλὸν μόρων ἀνάζεσον, ἕως ζέσῃ δίς, καὶ κάθες τὸ ἔριον καὶ ἔα ψυγῆναι καὶ ἔσται πορφύρα εὔχρ||ους καλή. Πορφύρας ψυχροβαφὴ ἀληθῶς γινομένη.

106 Τήρει ἀπόκρυφον πρᾶγμα. Ἔστιν γὰρ καὶ εὐανθὴς ὑπερ βολῇ. Λαβὼν τὸν ἀφρὸν τῆς ἰσάτεως π αρὰ τῶν βαφέων καὶ ἀγχούσης ἐξω||τικῆς μέρος τὸ αὔταρκες ὡς ἰσόστα θμον τοῦ ἀφροῦ—ἔστιν γὰρ ἐλαφρὸς ὁ ἀ φρόσδιάτριψον ἐπὶ τῆς θυίας. Ἄνες οὖ ν τὴν ἄγχουσαν τρίψας ἐν τῷ ἀφρῷ κ(αὶ) ἀφήσει ἑαυτῆς τὴν δύναμιν. Εἶτα λα||βὼν τὸ ἄνθος τὸ ἀπὸ τῶν βαφέων—εἰ μὲν τὸ ἀπὸ τοῦ κόκκου, κρεῖττον, εἰ δὲ μή γε, ἀπὸ τοῦ κριμνοῦ—αὐτὸν τὸν χόνδρον εἰς τὸ ἥμισυ τοῦ ἀφροῦ ἐπι θερμαίνων ἐπίβαλ` λ ʹε κατὰ τῆς θυίας κ(αὶ) || χαλάσας τὸ ἔριον βάψον ἄστυφον καὶ εὑρήσεις ἀδιήγητον. || Πορφύρας καλῆς βαφή.

107

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λαβὼν ἔριον στρούθισον. Εἶτα εἰς ἄσβεστ ον διυλισμένην στῦψον. Εἶτα στυπ||τηρίᾳ καὶ ὕδατι ἕψησον. Ἔστω δὲ στυμνὴ ἡ στυπτηρία ὀξῖτις. Εἶτα τῇ διὰ τοῦ οὔ ρου στύψει ἕψησον. Εἶτα ἄνθισον. Ἔκκλυσον ὕδατι, εἶτα θαλάσσῃ καὶ ἀπόθου. || Λαβὼν οὔρου πρὸς τὸν στατῆρα τοῦ ἐρίου κοτύλην μίαν καὶ φλοιοῦ ἀγχούσης Σ ′ δ′ καὶ νίτρου πυρροῦ Σ ′ α′ κ(αὶ) μίσυος κυπρίου ὠμοῦ Σ α′ βάλε εἰς τὴν λοπάδα τοῦ οὔρου καὶ μίσγε, ἕως σοι δοκῇ || καλῶς ἔχειν.

108 Ἀφαίρει δὲ τὸν πρῶτον ἀφ ρόν, ὅς ἐστιν λευκὸς καὶ ἀεικὴς τῷ φαρ μάκῳ. Ὅταν δὲ δόξῃ ἐξηρακέναι τὰ φ άρμακα, ἄρας τὸ γυργάθειον ἢ τὸ σπυρί διον ἐκπίασον ἐπιμελῶς εἰς τὴν λοπά||δα. Αὐτὰ μὲν ῥῖψον, τὰ δὲ ἔρια ἐστυμμέ να χαλ ⟦ λ ⟧ άσας ποίησον. Καὶ πρότερον δει γμάτιζε ὑπὸ χεῖρα καθεὶς θεώρ` ε ′ι. Ἔστω δὲ τὸ ἄγγος, ἐ` ν ′ ᾧ ἕψεται, χωροῦν τὸ ἑξαπλοῦ(ν) διὰ τὸ ὑπερζέον πολλάκις. Ὅταν δὲ κα||λῶς ἔχῃ, κρέμασον καὶ ἔασον ἀποστάζει(ν) , ἕως τὸν ἀνθισμὸν ἑψήσῃς. Ἰσάτεως συγκομιδή.

109 Ἐκτεμόντα εἰς κόφινον συνθεῖναι ἐν σκιᾷ καὶ συνθλάσαντα κόπτειν καὶ ` ἐ ′ᾶν || ὅλην τὴν ἡμέραν, τῇ δὲ ἐχομένῃ διαψ {ψ}ύχειν καὶ ἐμπεριπατεῖν, ὅπως ἀνα βάλληται διὰ τῆς τῶν ποδῶν κινήσεως καὶ ὁμαλῶς ξηραίνηται, καὶ συνθέντα εἰς φορμοὺς ἀποθέσθαι. Καλεῖται δὲ χειρισθεῖ||σα ἡ ἰσάτις οὕτως ἄνθραξ. Ἀνθρακίνου βαφή.

110 Ὡς τάλαντον εἰς πίθον ἐμβαλεῖν ἐν ἡλίῳ κείμενον, χωροῦντα μὴ ἔλασσον μετρητῶν ιε′ καὶ ἐπισάξαι καλῶς. Εἶτ’ ἐπι||χέοντα οὖρον, ἕως ἂν ὑπερέχῃ τὸ ὑγρόν, ἡλιάζειν, τῇ δὲ ἐχομένῃ ἀναποιῆσαι συμπατοῦντα ἐν ἡλίῳ, ἕως ἀναδευθῇ || {ἕως ἀναδευθῇ} καλῶς. Τοῦτο δὲ χρὴ ποιεῖν ἐφ’ ἡμέρας γ′. Ἄνθρακος ἕψησις.

111 || Τριμερῆ ποιήσαντα τὸν ἄνθρακα καὶ τὸ ἀπὸ τοῦ ἐπιχυθέντος οὔρου περισσὸν ἀναδεῦ σαι χρησίμως καὶ εἰς [χύ]τραν ἐγχέοντα ὑπ οκαίειν. Αἰσθήσει δὲ, εἰ ἥψηται, οὕτως. Ἐάν ζέσῃ, ἀνακίνει μὴ ταρασσόμενος, ἐπιμε||λῶς δέ, ὅπως μὴ συγκαθίσας {α} συντήξῃ τὸν λέβητα. Ὅταν δ’ ἐκ τοῦ μέσου σχίζηται, τελεία ἡ ἕψησις γίνεται. Δεῖ δὲ ὑποσπ άσαντα κινεῖν τὸ πῦρ μηδὲν{ν} ἧσσον. Κ[α] τάψυχε δὲ τὰ ὑπὸ τὸν χύτρον ὕδατι ψυ||χρῷ προσραίνων. Εἶτα λαβὼν στρουθίου ἡμιχοίνικον ἔμβαλε εἰς πίθον καὶ ἀπὸ τοῦ φαρμάκου μετεράσας τὸ ἱκανὸν ἐπιθεὶς κανόνας ἢ καλάμους τῷ χείλει τοῦ πίθου πώμαζε φορμοῖς καὶ ὑπόκαιε πυρὶ συμμέτ||ρῳ, ὥστε μὴ ὑπερζέσαι μηδὲ περιψύχες θαι. Καὶ ἀφεὶς ἡμέρας γ′ ἀνάζεσον οὖρον με τὰ στρουθίου καὶ τὸ ἀποζέον ἀποσύρων καθί ει ἔριον ἑψήμενον. Εἶτ’ [ἀποκλ]ύσας χρησίμως καὶ ἐκπιάσας διάξανον καὶ κάθες εἰς τὸ φάρ||μακον. Ὅταν δέ σοι δοκῇ καλῶς ἔχειν, ἐξ ελὼν καὶ πωμάσας πάλιν ὑπόκαιε τὸν αὐτὸ(ν) τρόπον καὶ ἐπὶ τὸ ὑ[γ]ρὸν ἅμα ζέσας καὶ τὸν ἀφρὸν ἀποσύρας φύκους ἔμβαλε μνᾶς β′ καὶ τὸ βαφὲν ἔριον καθίει καὶ ἀποκλύσας ἐν || θαλάσσῃ διάψυξον. Γλαύκου δὲ δὶς τῆς ἡμέρας, πρωίας καὶ δείλης, ἐφ’ ὅσον ἂν ὑ πηρετῇ τὸ φάρμακον. Ῥοδ[οβα]φοῦς βαφή.

112 Ῥοδοβαφὲς δὲ οὕτως βάπτ(ε)τ(αι)· καταπάς||ας τοὺς κυκλίσκους τῶν ἐρίων σποδῷ καὶ ἀναποιήσας πλῦνε γῆς κεραμικῆς χυλῷ καὶ ἐκκλύσας στῦφε, καθὼς προγέγραπται. Μετὰ δὲ τὴν στῦψιν ἐκκλύσας ἐν θαλάσσῃ ὄμβριον ὕδωρ ἔχε θερμόν, ὥστε μὴ δύνα||σθαι χεῖρα καθεῖναι. Εἶτα ῥίζης λαβὼν πε φρυγμένης καὶ κεκομμένης λείας μέρ ος τέταρτον τῆς μνᾶς εἰς τὴν μνᾶν τῶν ἐρίων καὶ λεκιθίου χοίνικος τέταρτον || {τον} φύρασον ἐν ταύτῳ παρέχων ὄξος λευκὸ(ν) || ἐπιπάσας τε εἰς τὸν λέβητα ἀνακίνησον καὶ καθεὶς τὰ ἔρια εἰς τὸν λέβητα πάλιν ἀνακί νει συνεχῶς, ὅπως ὁμαλισθῇ. Ὅταν δέ σοι δόξῃ συμπεπωκέναι, ἐπάνθιζε διὰ στυπτηρίας καὶ ἀναποκλύσας θαλάσσῃ ξήραινε ἐν σκιᾷ || φυλασσόμενος καπνόν. Φύκους βαφή.

113 Φύκει βάπτειν. Τὰ ἔρια πλῦναι, καθάπερ προ γέγραπται, κ(αὶ) λαβόντα οὔρου χοέας δ′ καὶ στυ πτηρίας ἡμιμναῖον εἰς τὴν μνᾶν ἀναμεῖ ξαι ὑποκάοντα, ἕως ἀναζέσῃ, καὶ καθέντα || τὰ ἔρια κινεῖ[ν] συνεχῶς. Ὅταν δὲ συνί ζῃ καὶ τὸ ὑγρὸν καθιστῆται, ἀποκλύσαντα ὕ [δατι] ποτίμῳ

ἕψειν φύκους τριπλάσιον τῆς τῶν ἐρίων ὁλκῆς καὶ ἐξελόντα τὸ φῦκος καθεῖναι τὰ ἔρια καὶ ἀνακινεῖν ὁμαλῶς, ἕως || ἂν σ 〈υ〉 μπίῃ, κἄπειτα χαλκάνθους μνᾶς τέταρ τον εἰς τὴν μνᾶν λεάνας παράμισγε καὶ ὁμα λίζων ἀνακίνει συνεχῶς. Εἶτ' ἐξελὼν ἀπ[ό]κλυσον καὶ ξήραινε, καθὼς καὶ τὰ λοιπά. Φοινικοῦ διὰ φύκο` υ ΄ς βαφή.

114 || Κυκλίσαντα τὰ ἔρια κατασῆσαι σποδὸν καὶ συμπατήσαντα χρησίμως πάλιν τῆς σπο δοῦ κατασήθειν, ἕως ἂν ῥυφθῇ καὶ καταρρυ πωθῇ. Τῇ δ' ἐχομένῃ ἐκτεινάξαντα ἐκκλύ σαι. Καὶ μετὰ τὴν πλύσιν θαλάσσης ἀναζέ||σαι χοέας ϛ' εἰς τὴν μνᾶν καὶ παραμείξα(ν) τα{ς} στυπτηρίας ἡμιμναῖον στύφειν, ὡς εἴρη ται, καὶ ἀποκλύσαι. Εἶτα φύκους τὸ τριπλάσιον ἕψειν μεθ' ὕδατος ὀμβρίου, ἕως ἂν ζέσῃ, καὶ γά[λα] αἴγειον ἐπιχέαντα ἀνακινεῖν καὶ τὰ ἔρια || ἐμβαλόντα πάλιν κινεῖν, ἕως ἂν εὖ ἄν[ω] θε ἐνῆται τὸ χρῶμα κἄπειτ' ἐξελόντα ἀπο κλύσαι καὶ ἀναξηραίνειν ἐν σκιᾷ ἀπὸ κα πνοῦ φυλάσσοντα. Πορφύρας ὀξείας βαφή.

115 || Πορφύραν ὀξυτέραν ποιῆσαι. Φῦκος ἑψήσας ἐκ τοῦ χυλοῦ λάμβανε κυάθους ε' εἰς τὴν μνᾶν. Ἐὰν ἐπιτεῖναι θέλῃς, παράμισγε {νί} νίτρον λεῖον. Ἐὰν δὲ μᾶλλον ἔτι βούλῃ, χαλ κανθές. || Ἀφρικανοῦ βύβλου.

116 Πορφύρας ὀξεία[ς] {ὀξείας} ποίησις. Λαβὼν τὸ ἔριον ἐστυμμένον χάλα εἰς κριμ νοῦ χο(ίνικα) α', φύκους χο(ίνικας) δ', ζέσας χάλα τὸ ἔριον κ(αὶ) ἄφες ἕως ὀψὲ καὶ ἄρας ἀπόκλυσον θαλάσσῃ, || εἶτα ὕδατι. Ἄλλη.

117 Χαλκάνθου Σ δ', σινωπίδος Σ ' δ', κριμν οῦ Σ η' κόψας ἕψει καὶ χάλα τὸ ἔριον ἐστυμ μένον καὶ ἔσται πορφύρα βαθεῖα καλή. Ἄλλη.

118 || Πορφύρας βαφὴ διὰ βοτανῶν. Λαβὼν τὸ ἔριο ν χάλα εἰς χυλὸν ὑοσκυάμου καὶ θέρμου πι κροῦ ἐζεσμένον τοῦ ὕδατος. Τοῦτο πρόστυμ μά ἐστιν. Εἶτα λαβὼν τοῦ ῥάμνου τὰ σφαιρί α βάλε εἰς λέβητα ὕδωρ καὶ ζέσον καὶ χάλα τὸ || ἔριον καὶ ἔσται πορφύρα καλή. Ἄρας ἀπόκλυσον χαλκέως ὕδατι καὶ ξήραιν[ε] ἐν ἡλίῳ καὶ ἔστ αι πρώτη. Ἄλλη.

119 Προστύψας τὸ ἔριον καὶ λαβὼν σινωπίδος καλῆς Σ κ' καὶ ζέσας ὄξει χάλα τὸ ἔριον καὶ πρός||βαλε χαλκάνθου Σ β' καὶ ἄρας τὸ ἔριον βάλε εἰς χαλκίον μεστὸν θέρμου καὶ ἄφες ὥραν α' καὶ ἄρας ἀπόκλυσον. Διαφόρων χρωμάτων {διαφόρων χρωμάτων} βαφαί.

120 Φοινικόχροα ποιῆσαι. Λαβὼν ἡλιοτρόπιον || σύνδησον ἀγχούσῃ καὶ κατάθου εἰς ἀγγεῖο(ν) ὀστράκινον ῥαίνων ἐπὶ ἡμ(έρας) γ' ὄξει λευκῷ. Τῇ τετάρτῃ ἡμέρᾳ ἕψε ἐπιμελῶς ἐπιβάλ λων ὕδωρ, μέχρι ἐπιπλεύσῃ. Ἐὰν δὲ θέλῃς κέδρινον βάψαι, ἆρον τὴν ἄγχουσαν καὶ || ἕψε ἐλαφρῶς. Ἐὰν δὲ κεράσινον, ἐμβαλὼν κριμνὸν ὠξυσμένον σὺν ὀλίγῳ σμήγμ[α] τι κατάθου καὶ σύνεψε, μέχρι σοι δόξῃ καλῶς {καλῶς} ἔχειν. Φαιῶν ψυχροβαφαί.

121 Λιθαργύρου χρυσιζούσης μέρος, ἀσβέστου || μέρη β' καταθέμενος εἰς ἀγγεῖον ἐπίχεε ὕδωρ, ὥστε ὑπερέχειν, καὶ κινήσας, μέ χρι καταμιγῇ, χάλασον τὰ ἔρια ⟦ ν ⟧ [πρ]οεκκε κλυσμένα, ἃ γίνεται κατὰ διάστημα ἑτε ρόχροα. Ἐὰν ἀγχούσης μείξῃς, κρείσσω. || Κοκκίνων βαφαί.

122 Λαβὼν στῦψον τῇ ἰσάτιδι, ὅ ἐστιν γλαυκις μός, καὶ πλύνας ξήρανον. Εἶτα λαβὼν κόκ κον καὶ ὕδωρ κόπτε, ἕως ἀνεθῇ, καὶ τότε μεῖξον φῦκος χωρικὸν καὶ ἕψε οὕτως || {καὶ ἕψε οὕτως} καὶ χάλα τὰ ἔρια καὶ ἔσται κόκκος. Χρυσανθῆ ποιῆσαι ψυχροβαφῆ.

123 Λαβὼν κνήκου ἄνθος καὶ βούφθαλμον ὁμοῦ κόψας βάλε εἰς ὕδωρ. Χάλα τὰ ἔρια καὶ ῥαῖνε ὕδατι καὶ ἄρας ψῦχε καὶ χρῶ. || Ἐρίων τραχέων πλύσις.

124 Ἐρίων τραχέων ἥδε πλύσις ἐστίν. Μνᾷ τῶν ἐρίων κιμωλίας μνᾶς θ', ὄξους κοτύλας β', ὕδωρ ἐπιχέας πλῦνε καὶ διάψυχε. Δοκιμασίαι φαρμάκων βαφικῶν.

125 || Ἰσάτις ἡ βαρεῖα καὶ κυανῆ καλή, ἡ δὲ ἔκλευ κος καὶ κούφη οὐκ ἐσθλή. Κόκκου συρίου δοκιμασία· θραῦε τὸν εὐανθέστατον καὶ κο υφότατον {καὶ κουφότατον} αἱρῶν. Ὁ δὲ μέλ ας ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διάλευκος πονηρός. Νίτρῳ δὲ διαμασης||άμενος διάκρινε τὸν εὐανθῆ. Ἐρυθρόδανον εὐανθέστατον συντρίβων εἰς δοκιμασίαν ἄγε. Φῦκος τὸ πορφυρόχροον καὶ εὐπαγὲς ὅ πως ὄστρεον. Τὸ δὲ διάλευκον καὶ μέλανον ὂν οὐκ ἐσθλόν. Διαμασώμενος οὖν φύλας||σε εἰς τὴν χεῖρα εὐανθέστερον αἱρ[ῶν]. Στυ πτηρία δὲ ὑγρὰ καὶ λευκὴ λίαν. Ἡ δὲ ἅλμη ν ἔχουσα ἀχρεία ἐστίν. Χαλκοῦ {κου} ἄνθος τὸ κυανόχρου[ν] καὶ χλω ρόν λίαν πρασῶδες καὶ εὐανθέστατον. || Ἐρίων κανυσίων βαφή.

126 Κριμνοῦ < κʹ, ἀκάνθης < ηʹ ἢ ιβʹ, ὕδατος χοῦν αʹ ἐρίων ἀστύφων μνᾶ αʹ προζέσας ἐν μολυβῷ χαλκίῳ ἐπιχάλα τὰ ἔρια καὶ δειγ μάτιζε καὶ ἔσται. || Βαφὴ χρώματος.

127 Ἄσβεστον θερμὸν ξηρὰν καὶ λιθάργυρον χρυσῖτιν, τὰ δύο τρίψας εἰς ἀγγεῖον ὀς τράκινον ἀνακινήσας χάλασον τὰ ἔρια καὶ ἔα ἡμ(έραν) αʹ καὶ νύ(κτα) καὶ ἀναβήσεται ⟦ α ⟧ καὶ ἐκκ||λύσεις στρουθίῳ. Ἐὰ(ν) ἐκκλυσθῇ καὶ ἔτι θέλῃς, πάλιν ἐκ τοῦ φαρμάκου βάπτε. Βαφὴ πορφύρας.

128 Πορφύρα ὀξεῖα. Φύκους χυλός. Ἐὰν ἐπιτεῖναι θέλῃς, βάλε νίτρον, ἐὰν ἔτι μᾶλλον, χάλκανθον. || Ἄλλη.

129 Κύσθου θαλασσείου πλοκάμοις σὺν ὕδατι βάπ τουσι πορφύραν ἀνεξάλειπτον. || Ἄλλη.

130 Πορφύρα μὴ ἀνιοῦσα. Κύσθος θαλάσσιον σὺν || φύκει καὶ ὄξει ἕψων χάλα τὸ ἔριον ὁμαλίζω(ν). Ἄλλη.

131 Ὁ παιδέρως σὺν ὄξει ἀνιέμενος πορφύραν {πορφύραν} ποιεῖ. Ἄλλη.

132 Ὁ παιδέρως σὺν ὄξει ἀνιέμενος πορφύρα[ν] || ποιεῖ. Ἄλλη.

133 Ἄγχουσα, ἐρυθρόδανον, φῦκος, αἷμα μός χιον πορφύραν βάπτει. Ἄλλη.

134 Πορφύρα. Λίθος φρύγιος κόπτεται καὶ ζέν νυται καὶ χαλᾶται τὰ ἔρια. Καὶ ἄφες, ἕως ψυγῇ. || Εἶτα ἄρας βάλε εἰς ἄλλο ἀγγεῖον φύκους μέρ ος αʹ, ἀμαράντου τοῦ ἄνθους μέ(ρος) αʹ καὶ πάλιν ζέσον καὶ ἐπίβαλε τὸ ἔριον καὶ ἔα ψυγῆναι καὶ ἄρας ἀπόκλυσον θαλάσσῃ. Στῦμμα πρῶ τον τῆς πορφύρας φρυγίου λίθου, τῇ κοτύ||λῃ τῶν ἐρίων κοτύλη τοῦ λίθου, γίνεται. Ἄλλη.

135 Πορφύρα ψυχροβαφής. Ὕδατι λακκαίῳ ἀνάκοψον ἄσβεστον. Τὴν κονίαν ἀποσειρ ώσας στῦφε ὃ θέλεις ἀπὸ ὀψὲ ἕως πρωί, || εἶτα ἀπόκλυζε γλυκεῖ ὕδατι, βάπτε δὲ ἀφεψήματι φύκους πρῶτον. Εἶτα προσέμβ αλε χάλκανθον. Βαφὴ ἐρίων φαιῶν.

136 Βαφὴ ἐρίων φαιῶν παντοίων, ὥσ[τε δο] κεῖν αὐτῶν χρῶμα εἶναι. Λιθάργυρον χρυ 〈σῖ〉 ||τιν λεάνας ἔμβαλε εἰς ἀγγεῖον καθαρὸν(ν) βραχὺ καὶ ἀσβέστου τὸ τετραπλοῦν καὶ ἐπίχεον ὕδωρ ὄμβριον γλυ[κύ, ὥσ]τε ὑπερέχει(ν), καὶ διακινήσας, ὅπως συμμιγῇ καλῶς, χάλα τὰ ἔρια προεκκλύσας. Γίνεται γὰρ || φαιὰ καὶ κατὰ διάστημα χρόνου ἑτερ όχροα, ὥστε δοκεῖν ἀληθινὸν εἶναι καὶ θαυμαστόν. Φύκους ἄνεσις.

137 Λαβὼν τὸ φῦκος ἐπιμελῶς πλῦνον καὶ ψύ ξας ἀπόθου. Εἶτα λαβὼν ἐρεγμὸν ἕψε ὕδα||τι πολλῷ καὶ ὅταν κάθεφθος γένηται, τῷ ὕδατι τοῦ ἐρεγμοῦ πρόσμισγε τὸ φῦκος καὶ ἐῶν συγκαταψυγῆναι οὕτως ἀνέσεις. || Ἀγχούσης ἄνεσις.

138 Λαβὼν ἄγχουσαν ἐκπεφλοισμένην καὶ κε||κομμέν[ην] ἐπίβαλε βασιλικῶν καρύων τὸ ἐν τὸς καὶ πάλιν κόπτε καὶ ἐπίβαλε στυπτηρίαν σχιστὴν ὀλίγην καὶ κόπτε πάντα ὁμοῦ νοτί σας τῷ ὕδατι καὶ ποιήσας μᾶζαν ἀπόθου καὶ ἔασον συμπίνειν. Εἶτα λαβὼν ὕδατος ἀγ||γεῖον βάλε τὴν μᾶζαν εἰς τὸ ὕδωρ καὶ ἀνα κινήσας ἔασον ἄτομον καὶ χάλα τὸν δάκτυ λον, κἂν ᾖ εὐανθές, χρῶ. Σκευὴ πορφύρας ἀληθινῆς.

139 Ἰὸς σιδήρου καὶ μίσυ ὀπτὸν καὶ βαλαυστίας || ἄνθος στυφέντα τῷ ὕδατι καὶ τοῦ ἐρίου ἐφ’ ὥ ρας δʹ πορφύραν καλὴν βαθεῖαν ἀναφέρουσιν. Ἄλλη.

140

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰὸν σιδήρου καὶ ὄξος ταρίχευε ἐπὶ ἡμ(έρας) ἱκανάς. Εἶτα τούτῳ στῦφε τὸ ἔριον ψυχρῷ. Εἶτ᾽ ἀποζέ||σας κριμ{μ}νὸν χάλα τὰ ἐστυμμένα. Ἀφρικανοῦ ἐκ βύβλου γ′.

141 Στῦψις δὲ πρὸς πᾶσαν βαφὴν ἥδε. Πρῶτα μὲν ἀποπλύνεται τὸ ζῷον ἢ καὶ νάκος. Οὕτω γὰρ ἂν πρόσοιτο τὰ τῆς στύψεως. Ἐπὶ δὲ τὴν στυπτη||ρίαν ἀναλυτέον ὄξει κἀπιχρίειν, ὅπερ ἂν βάψαι δέοι. Ἀφαυανθὲν δὲ ἡλίῳ ἀποπλύνε ται καὶ τῆς νοτίδος ἐλευθερωθὲν πᾶσαν προς ίεται βαφήν. Νύκτα δὲ καὶ ἡμέραν ἐπὶ τῇ στύψει φυλάττειν χρὴ τὸ στυφόμεν[ον]. || Χρωμάτων βαφαί.

142 Ἄσβεστος μετὰ λιθαργύρου τριβομένη καὶ φυρωμένη ποιεῖ χρώματα πλεῖστα παρὰ τὴ(ν) μονὴν τοῦ ἐρίου. Πρῶτον μὲν γαλάκτεινα, εἶτα ἰδιόχρωμα, εἶτα βαθέα ψυχροβαφῆ. || Στῦψις παντὸς χρώματος πλὴν πορφύρας.

143 Στυπτηρίαν διεὶς ὄξει πρόσβαλε μίσυ ὠμὸν κ(αὶ) χρῶ. Στῦψις πορφύρας.

144 Ἐὰν πορφυρῶς στύφῃς, προσέμβαλε θεῖον τὸ || ἀληθινὸν τὸ βωλῶδες, ἵνα {ἐαν} προσέλθ[ῃ] ἡ πορφύρα εἰς λευκασίαν, μὴ λευκανθῇ τὸ συγ γενὲς τοῦ ἐξετάζοντος ἔχουσα. Χρωμάτων βαφαί.

145 Ἐλύδριόν ἐστι ῥίζα βοτάνης. Ψυχροβαφῇ βά||πτει χρυσανθῆ. Ἔστιν δὲ τίμιον τὸ ἐλύδριο(ν). Χρήσῃ οὖν τῇ ῥίζῃ τῆς ῥοιᾶς καὶ τὸ αὐτὸ ποιεῖ || {καὶ τὸ αὐτὸ ποιήσει}. Καὶ ὁ τιθύμαλλος ξηρα[ν] θεὶς καὶ ζεσθεὶς γάλβινα ποιεῖ, ὀλίγου δὲ ἰοῦ μιγέντος πράσινα ποιεῖ. Καὶ τὸ ἄνθος τοῦ κν||ήκου ὁμοίως. Ἀγχούσης ἄνεσις.

146 Ἀνίεται ἡ ἄγχουσα ῥίζῃ ὑοσκυάμου, οἱ δὲ ῥίζῃ συκαμίνου συνέψωσιν, οἱ δὲ ῥίζῃ καππάρεως ὁμοίως. Οἱ δὲ ἕψουσιν τὴν ἄγ χουσαν μετὰ φακοῦ, οἱ δὲ μετὰ πυρέθ` ρ ′ου. || Κάτ[ο]χος ἀγχούσης.

147 Οὖρον προβάτιον ἢ κόμμαρι ἢ ὑοσκύαμον ἴσα. Φύκους καὶ ἀγχούσης κάτοχος.

148 Ἀπόζεσμα φύλλων κιτρίων καὶ ἀποζέσμα τα τῆς κριθῆς καὶ τῆς κοτυληδόνος, χυλ||ὸς τοῦ βόλβου. Τούτων ἕκαστον κατέχει κατὰ μόνας. Κομάρου ἄνεσις.

149 Λαβὼν κόπρον χοιρείαν ἐξυδάρωσον οὔρῳ ἀφθόρου καὶ ἀνάζεσον καὶ ἀποσείρωσον κατὰ τοῦ κομάρου. Ἄλλη.

150 || Ἀσβέστου μαρμαρικῆς ψυχρῷ ὕδατι λυ θείσης ἐν τῷ γάλακτι σύνθες τὸ κόμμαρι καὶ διαλυθήσεται. Στρουθισμός.

151 Λαβὼν στρούθιον καὶ ἀναποιήσας ὕδα τι θερμῷ ποίησ{ησ}ον ὡς στέατος σφαῖραν. || Εἶτα ἄνες τοῦτο ὕδατι θερμῷ, ἕως διαλυ θῇ. Ἔστω δὲ τὸ ὕδωρ ὑπερέχον τὸ ἔριον. Εἶτα ἀναφλύσας βάλε τὸ ἔριον καὶ ἄπε χε, μὴ καυσωθῇ, καὶ μικρὸν αὐτὸ ἔασον, ἕως αὐτὸ ἴδῃς καθαρόν. Ἆρον καὶ ἀπόκλυ||σον καὶ ξήρανον. Στῦψις.

152 Εἶτα λαβὼν ἄσβεστον καὶ ὕδωρ ζεστὸν χυλοποιήσας ἄφες κατασταθῆναι ἀφαι ρῶν τὴν ἐπικειμένην ἀκαθαρσίαν. Ὅταν δὲ ἴδῃς, ὅτι κρυσταλλῶδες γέγονεν τὸ || ὕδωρ, χάλα τὰ ἔρια καὶ πάλιν δονήσας ἔα ἐπ᾽ ὀλίγον. Ἄρας ἔκκλυσον. Ἕψησις.

153 Εἶτα λαβὼν ὕδατος γλυκέος ὡς τῷ στα τῆρι τοῦ ἐρίου κοτύλας δύο καὶ στυπτηρ||ίας ὀξίτιδος ὁλκὰς η′ βαλὼν τὸ ὕδωρ, καὶ τὴν στυπτηρίαν ἐν σπυριδίῳ καὶ κρι θὰς ὀλίγας καῖε, ἕως αἱ κριθαὶ ἑψηθῶσιν || καὶ ἡ στυπτηρία διαλυθῇ. Ἀφελὼν δὲ τὸ ἐν τῷ ὑγ ρῷ ἀκάθαρτον χάλα τὰ ἔρια καὶ τῷ προχείρῳ κατα||βάψας διάστιλον καὶ ὁμαλίσας πωμάσας καῦσον, ἕως ἂν ἴδῃς φυσώμενα τὰ ἔρια. Εἶτα ἐπάρας αὐτὰ καὶ κρεμάσας καὶ πάλιν τῷ προχείρῳ τὰ αὐτὰ ποιεῖ καὶ καῖε. Ὅταν δὲ ἐπαρθῇ, ἀπάρας κρεμάσον καὶ ἔα ἀποστάζειν, ἕως ἐποίσεις τὴν διὰ τοῦ οὔρ||ου στῦψιν. Πορφύρας τυρίας ποίησις.

154

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λίθος φρύγιος κόπτεται καὶ ζέννυται καὶ χαλᾶται τὸ ἔριον καὶ ἐᾶται, ἕως ψυγῇ. Εἶτα ἄρας βάλε εἰς ἀγγεῖον φύκους (μ)νᾶ(ν) μίαν καὶ ζέσον καὶ ἐπέμβαλε τὸ ἔριον καὶ ἔα ψυγῆναι καὶ ἄρας ἔκ||κλυσον θαλάσσῃ. Ψυχροβαφὴ πορφύρας.

155 Λαβὼν ἄσβε〈σ〉 τον ἀνάκοψον μετὰ ὕδατος ὀ[μ] βρίου καὶ διηθήσας τὸ ὕδωρ ἐν αὐτῷ στῦφε ὀ ψὲ καὶ πρωί. Ἔκκλυζε μὴ θαλάσσῃ ἀλλὰ γλυ κεῖ ὕδατι. Εἶτα βάπτε φύκει ἀπεζεσμένῳ. || Εἶτα χάλκανθον προσέμβαλε καὶ γίνεται πορφύρα. Βαφὴ κόκκου γαλατικοῦ.

156 Ἄγχουσαν καὶ φῦκος ἀνὰ ὀγ(κίαν) α′, αἵματος χοίρου ὀγ(κίας) βι′ χαλκάνθου < ε′, ἀρσενικοῦ κεκαυμένου < β, ὕδατος ξέστας η′. || Βαφὴ πορφύρας τυρίας καὶ πρωτίας δοκίμου.

157 Ἀγχούσης < ζ′, ἀρσενικοῦ < ε′, οὔρου ὀγ(κία) α′, ἀσβέστου < ε′, ὕδατος κο(τύλη) α′. Χρωμάτων ἄνεσις.

158 Θεῖον, ἂν θέλῃς ἄνθος ἀνεῖν[αι] τὸ ἴδιον χρῶμα, || ἕψε μετὰ γάλακτος βοείου καὶ εὐχερῶς ἀνήσει. Πορφύρας ῥιζίνης βαφή.

159 Γλαυκώσας τὰ ἔρια κατάπασον σποδῷ χρησίμως συμπατῶν. Εἶτα γῆν κεραμικὴν χυλώσας ἔκπ λυνον ἐν αὐτῇ τὸ ἀπογλαυκωθὲν καὶ ἀποκλύσα(ς) || ἐν θαλάσσῃ [σ]τῦφε. Γνώσῃ δὲ εἰ ἔστυπται ἱκανῶς ὅταν συ〈ν〉 ιζάνῃ ἐν τῷ λέβητι καὶ τὸ ὑγρὸν διαυ γῇ. Εἶθ’ ὕδωρ ὄμβριον θερμάνας, ὥστε μὴ κα θεῖναι τὴν χεῖρα, ῥίζαν, τοῦτ’ ἔστιν ἐρευθέ δανον πεφρυγμένην κεκομμένην καὶ σεσης||μένην φύρασον ὄξει λευκῷ σταθμὸν εἰς τὴν μνᾶν τῶν ἐρίων ἡμιμναῖον, καὶ συνανάφυρε, τῇ ῥίζῃ λεκίθου χοίνικος τέταρτον. Εἶτα ἐμ βαλὼν εἰς λέβητα ἀνακινεῖν ἔρ〈ια〉 κἄπειτα || {ερ κἄπιτα} καθεὶς τὰ ἔρια συνεχῶς ἀνακινῶν || ὁμάλιζε καὶ ἐξελὼ〈ν〉 ἀπόκλυσον ἐν θαλάσσῃ. Ἐὰν δὲ βούλῃ εὐανθῆ εἶναι καὶ μὴ ἐξίτηλον, ἐπάνθιζε διὰ τῆς στυπτηρίας καὶ ἀποκλύσας πάλιν ἐν θαλάσσῃ ξήραινε ἐν σκιᾷ φυλασσόμε νος ἀπὸ καπνοῦ. || Vacat.